περὶ τῆς ἀνθρώπου, μὴ κοινῇ ἡμᾶς χρῆσθαι συγχωρῆσαι.
2 καὶ τὴν μὲν ἀντίδοσιν δι' ἐκείνην φανερός ἐστι ποιησά-
μενος, τὴν | δ' αἰτίαν δι' ἣν ἀπέδωκεν ἢ ἔλαβεν, οὐκ
ἂν ἄλλην ἔχοι εἰπεῖν (βουλόμενος τἀληθῆ λέγειν) ἢ ὅτι
3 οἱ φίλοι περὶ πάντων ἡμᾶς τούτων συνήλλαξαν. ἐβου-
λόμην δ' ἂν μὴ ἀπολαχεῖν αὐτὸν κριτὴν Διονυσίοις, ἵν'
ὑμῖν φανερὸς ἐγένετο ἐμοὶ διηλλαγμένος, κρίνας τὴν
ἐμὴν φυλὴν νικᾶν· νῦν δὲ ἔγραψε μὲν ταῦτα εἰς τὸ
4 γραμματεῖον ἀπέλαχε δέ. καὶ ὅτι ἀληθῆ ταῦτα λέγω,
Φιλῖνος καὶ Διοκλῆς ἴσασιν· ἀλλ' οὐκ ἔστ' αὐτοῖς μαρ-
τυρῆσαι μὴ διομοσαμένοις περὶ τῆς αἰτίας ἧς ἐγὼ φεύγω,
ἐπεὶ σαφῶς ἔγνωτ' ἂν ὅτι ἡμεῖς ἦμεν αὐτὸν οἱ κριτὴν
5 ἐμβαλόντες καὶ ἡμῶν ἕνεκα ἐκαθίζετο. Ἀλλ' ἦν, εἰ βού-
λεται, ἐχθρός· δίδωμι γὰρ αὐτῷ τοῦτο· οὐδὲν γὰρ δια-
φέρει. οὐκοῦν ἦλθον αὐτὸς αὐτὸν ἀποκτενῶν, ὡς οὗτός
φησι, καὶ βίᾳ εἰς τὴν οἰκίαν εἰσῆλθον. διὰ τί οὖν οὐκ
ἀπέκτεινα, ὑποχείριον λαβὼν τὸ σῶμα, καὶ τοσοῦτον κρα-
τήσας ὥστε καὶ τὴν ἄνθρωπον λαβεῖν; φρασάτω πρὸς
6 ὑμᾶς. ἀλλ' οὐκ ἔχει εἰπεῖν. Καὶ μὴν οὐδεὶς γε ὑμῶν
ἀγνοεῖ ὅτι θᾶττον ἂν ἐγχειριδίῳ πληγεὶς ἀπέθανεν ἢ
πὺξ παιόμενος. φαίνεται τοίνυν οὐδ' αὐτὸς αἰτιώμενος
τοιοῦτόν τι ἔχοντας ἡμᾶς ἐλθεῖν, ἀλλ' ὀστράκῳ φησὶ
πληγῆναι. καίτοι φανερὸν ἤδη ἐξ ὧν εἴρηκεν, ὅτι οὐ
7 πρόνοια γεγένηται. οὐ γὰρ ⟨ἂν⟩ οὕτως ἤλθομεν, ἀδή-
λου ὄντος εἰ παρὰ τούτῳ εὑρήσομεν [ὄστρακον ἢ] ὅτῳ
αὐτὸν ἀποκτενοῦμεν, ἀλλ' οἴκοθεν ἔχοντες ἂν ἐβαδίζο-
μεν. νῦν δὲ ὁμολογούμεθα πρὸς παῖδας καὶ αὐλητρίδας
καὶ μετ' οἴνου ἐλθόντες. ὥστε πῶς ταῦτ' ἐστὶ πρόνοια;
8 ἐγὼ μὲν γὰρ οἶμαι οὐδαμῶς. 'Αλλ' οὗτος ἐναντίως τοῖς
ἄλλοις δύσερώς ἐστι, καὶ ἀμφότερα βούλεται, τό τε ἀρ-
γύριον μὴ ἀποδοῦναι καὶ τὴν ἄνθρωπον ἔχειν. εἶτα

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/58 UNIVERSITÄT LEIPZIG